# ΔΩΣΙΑΔΑ ΒΩΜΟΣ

## EXCERPTA E SCHOLIIS (Buc. FVY)

ὡς ἀπὸ τοῦ βωμοῦ ὁ λόγος· ὅτι ἐγώ εἰμι ὁ βωμὸς ὃν κατεσκεύασεν Ἰάσων, ὁ Μέροψ ἤγουν ὁ Θεσσαλός, ὁ δὶς ἡβήσας, τὸ μὲν τῇ φύσει τὸ δὲ τῇ τῆς Μηδείας ἑψήσει, ὁ ἀνήρ, ὁ χρυσοῦς καὶ λαμπρὸς ἐραστὴς [immo τῆς Χρυσῆς Ἀθηνᾶς καὶ] τῆς γυναικὸς τῆς ἄρσενος (ἐπιβουλεύσασα γὰρ Μήδεια Θησεῖ ἔφυγεν ἀνδρῴαν περιβαλοῦσα στολήν), οὐχ ὁ Ἀχιλλεὺς ὁ ἐν σποδῷ κοιμιζόμενος, ὁ υἱὸς τῆς Ἐμπούσης ἤγουν τῆς Θέτιδος (μετεβάλλετο δὲ εἰς μυρίας μορφὰς καὶ ἡ Θέτις ὅτε μιγῆναι ταύτῃ ὁ Πηλεὺς ἔσπευδεν), ὁ ὄλεθρος τοῦ βουκόλου Ἀλεξάνδρου τοῦ υἱοῦ τῆς Ἑκάβης ἥτις Κύων ὠνόμασται [immo aut ὁ τὸν Ἕκτορα, τὸν Πριάμου καὶ Ἑκάβης υἱόν, ἀποκτείνας aut ὁ ὑπὸ Πάριδος ἀποθανὼν καὶ Ἕκτορα ἀποκτείνας]. πότε δέ με ἔτευξεν ὁ Ἰάσων; ὁπηνίκα ἔφθειρεν ἡ Μήδεια τὸν χάλκεον ἄνδρα τὸν Τάλων, ὃν ὁ Ἥφαιστος ἐτεκτήνατο ὁ ἀπάτωρ—ἐκ γὰρ τῆς Ἥρας μόνης ἐγεννήθη, ἣ καὶ ἔρριψεν αὐτόν, ἢ ὁ διὰ τὴν μητέρα ῥιφθεὶς ὑπὸ τοῦ Διὸς μεσιτεύων αὐτήν—ὁ δύο γυναῖκας σχών, τὴν Ἀφροδίτην καὶ τὴν Χάριν. τὴν ἐμὴν κατασκευὴν θεασάμενος ὁ Φιλοκτήτης, ὁ φονεὺς τοῦ τὰς θεὰς κρίναντος Ἀλεξάνδρου, ὁ ἐνταφιαστὴς τοῦ τριεσπέρου [sc. ἐν τρισὶ νυξὶ σπαρέντος] Ἡρακλέος, ὥρμησε κράξας· ἔτρωσέ νιν ὁ ὄφις ὁ τῇ γαστρὶ συρόμενος, ὁ ἐκδὺς τὸ γῆρας. τοῦτον δὲ βραδύνοντα ἐν τῇ περιρρύτῳ Λήμνῳ εἰς τὴν Τροίαν τὴν τρὶς πορθηθεῖσαν ἐκόμισεν ἕνεκα τῶν τόξων, τίς; ὁ κλέπτης τοῦ Παλλαδίου Ὀδυσσεύς, ὁ εἰς Ἅιδου κατελθὼν κἀκεῖθεν ἀνελθών, ὁ ἀνὴρ τῆς Πενελόπης, καὶ Διομήδης, ὁ υἱὸς τοῦ Τυδέως τοῦ ἀνδροβρῶτος· ἔφαγε γὰρ οὗτος τὴν κεφαλὴν τοῦ Μελανίππου.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415773970/191 UNIVERSITÄT LEIPZIG